## ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΕΒΔΟΜΟΝ

### *Ἔτι καὶ τοῦτο ἠπόρηται, εἰ τὸ τῶν Ἑβραίων γένος ἐν ἐσχάταις ἡμέραις ἐπιστρέψει πρὸς Κύριον.*

Ὅτι δὲ καὶ προσελεύσεται ἡ τῶν Ἰουδαίων συναγωγὴ τῷ Χριστῷ κατά γε τὸν τῆς συντελείας καιρὸν καὶ τῷ χριστωνύμῳ λαῷ ἑνωθήσεται, πολλαχοῦ τῆς Γραφῆς τὸ δόγμα τοῦτο δεδήλωται· ὅθεν καὶ τούτου χάριν ἐπαπορεῖν σε οὐκ ἄξιον. Αὐτὸς καὶ γὰρ πρὸ τῶν ἄλλων ὁ θειότατος Κύριλλος ἐν τῇ βίβλῳ τῶν γλαφυρῶν πολλάκις τῆς αὐτῶν προσελεύσεως μεμνημένος εὑρίσκεται. Καὶ ἄκουε· τὴν γὰρ κατὰ τὸν Ἠσαῦ καὶ Ἰακὼβ ἱστορίαν διεξιών, καὶ τάδε φησί. «Μετὰ γοῦν ταῦτα ἔμελλε διέρχεσθαι ὁ Ἰακὼβ ὅπου ἦν ὁ Ἠσαῦ· ἐπτοεῖτο δὲ σφόδρα καὶ ἐδέετο τοῦ Θεοῦ, μήπως ἐλθὼν πατάξῃ αὐτὸν καὶ τὰς γυναῖκας ἐπὶ τέκνοις· καὶ ἀπέστειλε πρὸς ἐκεῖνον τὰ πρὸς εἰρήνην· ἐφ᾽ ᾧ καὶ φιλιοῦνται». Καὶ τὰ μὲν τῆς ἱστορίας τοιαῦτα· ἡ δὲ κεκρυμμένη τῷ γράμματι διάνοια κατὰ τὸν διαληφθέντα θεῖον ἄνδρα σαφέστατα παριστᾷ, ὅτι καὶ ὁ ἀπόβλητος καὶ φονῶν Ἰσραὴλ μετὰ τοῦ Χριστοῦ καὶ τῆς ἐκκλησίας φιλιωθήσεται, τινὸς αἰτίου

11 Προβλ. **Migne, Patrol. gr.** τομ. 69, σελ. 180.

1 κεφ. ιζ´ ΑΓΔΖΠ. 8 Κύρηλλος Π. 10 τὴν κατὰ Δ. 12 διέρχεσθαι | διεξέρχεσθαι ΓΔΖ. 13 πατάξῃ Π. 14 αὐτοῖς τέκνοις Α ἐπὶ τοῖς τέκνοις Π ἐφῶ ΒΠ. 15 ἡ γὰρ κεκρυμ. Π. 16 κατὰ τὸν διαλ. θεῖον ἄνδ. | κατὰ τὸν θειότατον Κύριλλον Α. 17 καὶ ὁ φονῶν Β. 18 μετὰ Χριστοῦ Α.



πρότερον ἐπὶ τούτοις μεσολαβήσαντος. Καὶ δῆλον ἐξ ὧν αὐτὸς ὁ Κύριος διὰ τοῦ προφήτου. Μαλαχίου φησίν· «Ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ· ὃς ἀποκαταστήσει καρδίας πατρὸς πρὸς υἱόν». Πατέρες δὲ οἱ Ἑβραῖοι, ὧν υἱοὶ οἱ ἀπόστολοι· ἄκουε· μετὰ δὲ ταῦτα κατῆλθον ἐπὶ τὸν Ἰωσὴφ οἱ ἀδελφοὶ αὐτοῦ ἐπὶ τῷ σιτοδοτηθῆναι· ὁ δὲ προσήκατο αὐτούς· πλὴν οὐκ ἄνευ τοῦ Βενιαμίν· ἐνίψαντο οὖν τὰς χεῖρας καὶ ἄρτῳ καὶ οἴνῳ ἐτράφησαν. Οὕτω καὶ οἱ Ἰουδαῖοι μετὰ τὸ σταυρῶσαι τὸν Κύριον ἐν ἐσχάτοις καιροῖς προσελεύσονται αὐτῷ· πλὴν σὺν τῷ νέῳ λαῷ· καὶ νίψονται διὰ τοῦ βαπτίσματος καὶ τῷ μυστικῷ ἄρτῳ καὶ οἴνῳ δεξιωθήσονται. Τὸ δὲ καὶ τὸν πατέρα Ἰακὼβ ἐκεῖσε παρὰ τῶν αὐτοῦ παίδων ἀποκομισθῆναι κατ᾽ ἐπιτροπὴν τοῦ Ἰωσὴφ σαφέστατα παριστᾷ, ὅτι καὶ τῶν προπατόρων ἄνευ οὐδεὶς λάβῃ τὸ τέλειον. Τὸ δὲ τὸν Μωσέα ῥιφῆναι παρὰ τῆς μητρὸς αὐτοῦ, εὑρεθῆναι δὲ παρὰ τῆς θυγατρὸς Φαραώ, εἶτα παρ᾽ αὐτῆς πάλιν παραδοθῆναι πρὸς τὴν αὐτοῦ μητέρα μετὰ καὶ μισθοῦ σαφῶς παριστᾷ, ὅτι καὶ Χριστὸς ἔξω ῥιφήσεται παρὰ τῆς τῶν Ἰουδαίων συναγωγῆς, παρὰ δὲ τῆς Ἐκκλησίας δεχθήσεται· ὕστερον δὲ καὶ ἡ συναγωγὴ τῶν Ἰουδαίων παρ᾽ αὐτῆς δέξεται αὐτὸν ἐπὶ μισθῷ καὶ ἐλπίδι τῶν αἰωνίων ἀγαθῶν. Ἄκουε πρὸς Ἀαρὼν καὶ Μαριὰμ γογγυζόντων κατὰ Μωσέως διὰ τὸ λαβεῖν γυναῖκα Αἰθιόπισσαν, πρὸς τούτοις δὲ καὶ λεγόντων «μὴ Μωσεῖ λελάληκε Κύριος καὶ ἡμῖν οὐκ ἐλάλησε;», διὰ νεφέλης ἐπιστὰς ὁ Θεὸς εἶπεν· «ἐὰν γένηται προφήτης Κυρίῳ, ἐν ὁρά-

2 Μαλαχ. δ´, 5
6 Πρβλ. Γεν. μβ´, 3,15.
13 Πρβλ. Γεν. μϛ´, 1.
16 Πρβλ. Ἐξόδ. β´, 5,8.
23 Ἀριθ. ιβ´, 2.
25 Αὐτόθ. ιβ´, 6.

5 οἱ υἱοὶ Α ὧν υἱοὶ ἀπόστολοι Δ. 9 καὶ Ἰουδαῖοι Β. 12 τοῦ Ἰακὼβ Π. 15 τὸν δὲ Δ. 16 Φαραὼ Π. παρ᾽ αὐτοῦ Δ. 20 δέξεται] τέξεται Δ. 24 ἐλάλησεν Π. 25 ὁ Θεός] ὁ Κύριος Π. ἐν Κυρίῳ Δ.